Πᾶσα ποιότης γνωστὴ ἐστὶ ταῖς αἰσθήσεσι, καὶ ἢ α. ἐστὶν ἢ β. ἡ δὲ ἐν ὕλῃ δύναμις οὐκ αἰσθητή ἐστιν, ἀλλ' οὔτε α. ἢ β. ἐστὶν, ἄρα οὐδὲ ποιότης. ἀληθὲς οὖν ὅτι ἡ ὕλη τῷ δυνάμει εἶναι οὐσίωται. ὡς καὶ αὐτὸς ὁ Πλάτων ἐν τῷ Τιμαίῳ πρεσβεύει, τὴν δύναμιν ἀχώριστον εἶναι λέγων τῆς ὕλης, καὶ ἀναφαίρετον προσγινομένην τοῦ εἴδους. ὅτι δὲ ἡ δύναμις ποιότης ἐστὶν ἀντὶ τῆς σχέσεως λαμβανομένη δῆλον ἐστὶ, καὶ μηδεμιᾶς δεῖται δείξεως.

## Ἀπορίαι τινές, καὶ λύσεις τούτων.

Πολλαῖς τισιν ἀπορίαις συνιστᾶσθαι πειρῶνται οἱ νεώτεροι τὸ οἰκεῖον δόγμα, καὶ τὴν δύναμιν χωριστὴν εἶναι τῆς ὕλης δεικνῦναι. εἰ γὰρ φασιν ἀδύνατον τινὸς ἀντιλαμβάνεσθαι τὸν νοῦν χωρὶς τῆς αὐτοῦ οὐσίας καὶ φύσεως, ἐπειδήπερ ὡς καὶ Θεμίστιος μαρτυρεῖ, οὐκ ἐγκλείεται τῇ ὕλῃ ἡ δύναμις, καθ' ἑαυτὴν θεωρουμένη, φανερὸν δοκεῖ μὴ φύσιν εἶναι τῆς ὕλης τὴν δύναμιν. ἐμπεδοῦσι δὲ τοῦτ' αὐτὸ, ὅτι ἡ ὕλη ἐνδέχεται ὡς ὂν ἀπολύτως θεωρεῖσθαι, καὶ ἀσχέτως. τῆς δὲ δυνάμεως οὐδέποτε ἀντιλάβοιτό τις ὡς ἀσχέτου. καὶ ἡ μὲν ὕλη μία ἐστὶν, ἡ δὲ δύναμις πολλαπλάσιος. ἔτι δὲ τὸ δυνάμει ὂν οὐκ ἔστιν, ἡ δὲ ὕλη καθ' ἑαυτὴν ἐστι. Ταῦτα δὲ ῥᾳδίως ἀπολύεται, ἡ γὰρ δύναμις διχῶς θεωρεῖται, εἴτε ὡς οὐσία τῆς ὕλης, καὶ ταύτης συστατικὴ, εἴτε ἀντὶ τῆς σχέσεως λαμβανομένη, καὶ ἡ μὲν α. ἀεὶ συνεννοεῖται τῇ ὕλῃ, μία τε ἐστὶν ὡς ἀΐδιος, καὶ ὡς διαφορὰ τοῦ ὄντος ἀσχέτως θεωρεῖσθαι ἐνδέχεται, καὶ δίχα ταύτης ἀδύνατον γνῶσιν τῆς ὕλης λαβεῖν. ἡ δὲ β. χωριστή τε ἐστὶ τῷ λόγῳ καὶ συμβεβηκὸς, ὅτι δὲ τὸ δυνάμει οὐκ ἔστιν, ἀληθὲς μὲν ὅτι οὐκ ἔστι τοιοῦτον, οἷον ἐστὶ δυνατὸν γενέσθαι, οὐ μὴν ἁπλῶς ἀληθὲς ὅτι οὐκ ἔστιν. ὅθεν καὶ Θεμίστιος ἐν τῷ α. Φυσικῶν, μορίῳ πα. ἀναφαίρετον τῆς ὕλης τίθησι τὴν δύναμιν. δεύτερον ἀποροῦσιν, ὅτι εἰ μὴ τῆς ὕλης ἡ δύναμις διαφέρει, ἐπειδήπερ ἡ ὕλη δυνάμει ἐστὶν εἰς πάσας τὰς κατηγορίας τοῦ ὄντος, λέγεται γὰρ ζ. τῆς α. Φιλοσοφίας οὐδὲ τόδε, οὐδὲ τοσόνδε, οὐδὲ τοιόνδε, οὐδὲ ποῦ, ἀλλὰ πάντα ταῦτα δυνάμει, εἴη ἂν καὶ ἡ εἰς τὸ ποιὸν δύναμις ἡ ὕλη, καὶ ἐπειδὴ πᾶσα κατηγορία διαιρεῖται εἰς τὴν δύναμιν καὶ τὴν ἐνέργειαν, ἐν πάσαις ἂν ταῖς κατηγορίαις εὕρηται ἡ τῆς ὕλης οὐσία, τούτου δὲ τί ἀτοπώτερον;

Εἰς λύσιν δὲ τῆς ἀπορίας ταύτης, πρῶτον εἰδέναι δεῖ κατὰ τὸν Φιλόσοφον η. τῆς α. Φιλοσοφίας, τεμμαχίῳ ια. τοῖς συμβεβηκόσι μὴ ἐνυπάρχειν ὕλην ὡς ἐξ οὗ γίγνοιτο, τοῦτο γὰρ ταῖς συνθέτοις οὐσίαις μόνον ἁρμόζει, ἀλλ' ὥστε τὰ συμβεβηκότα ἐν ὑποκειμένῳ εἶναι. ὅθεν ἡ ὕλη ὑποκείμενον ἐστὶ τοῖς συμβεβηκόσι ἀναγκαῖον εἰς ὕπαρξιν τούτων,

οὐ μὴν εἰς συμπλήρωσιν τῆς οὐσίας αὐτῶν. δεύτερον ὅτι ἡ δύναμις καίτοι οὐσία ἐστὶ τῆς ὕλης, συννοουμένη ὅμως τῇ πρὸς τὰ εἴδη σχέσει, καὶ ὡς δύναμις εἰς ἡντιναοῦν κατηγορίαν λαμβανομένη, οὐ κακῶς ἀνάγεται εἰς τὰς κατηγορίας, ἡ γὰρ δύναμις καὶ ἐνέργεια τοῦ αὐτοῦ γένους εἰσίν, ἡ δὲ τοιαύτη δύναμις ἐπειδὴ λόγον ἔχει ποιότητος κατὰ τὸν Φιλόσοφον, εἰς τὴν τῆς ποιότητος ἀνήχθη κατηγορίαν. ἐπιπολαιότερον γοῦν ὁ Σπαγειρήτης τὰ ὑποκείμενα ἐνταῦθα θεωρεῖ πράγματα, ἅτινα εἰσέπειτα πολλαχοῦ διαρθροῖ, καὶ κατὰ τὴν οἰκείαν γνώμην διορίζει. τρίτον, ἀπορεῖται ὅτι τῆς δυνάμεως ταυτὸν οὔσης τῷ ἐν ᾧ ἐστι, τὸ κινούμενον ἡ ἐνέργεια, ἀλλ' οὐχ ἡ δυνάμει κινηθείη. τοῦτο δὲ ἀπαρέσκει τῷ Φιλοσόφῳ γ'. Φυσικῶν. μορίῳ θ'. ἔτι δὲ τὰ αὐτὰ ἑτέρῳ τινὶ, καὶ ἀλλήλοις, ταυτά εἰσιν. ἐπειδὴ αἱ ἐς τἀναντία δυνάμεις ταυτὸν εἰσὶ τῇ ὕλῃ, εἰ ἦσαν καὶ ἀλλήλαις ταυτὸν, ὥστε καὶ ἡ εἰς ὑγείαν δύναμις ταυτὸν ἂν εἴη τῇ εἰς νόσον, ὃ τίς ἂν φαίη τῶν νοῦν ἐχόντων; λύεται δὲ ἡ ἀπορία αὕτη εἰ φαίημεν τὸν Φιλόσοφον δύναμιν ἐνταῦθα τὴν προσεχῆ ὑπολαβεῖν τὴν συννοουμένην τῇ σχέσει, θεωρεῖ γὰρ τὸ κινητὸν ᾗ τοιοῦτον. ὅθεν φησὶν οὐ τὸ αὐτὸ εἶναι ἁπλῶς καὶ κατὰ τὸν λόγον, ἁπλῶς γὰρ ταυτόν ἐστι κατὰ δὲ τὸν λόγον ἄλλο, καὶ ἄλλο. καὶ διὰ παραδείγματος σαφηνίζει τὸ λεγόμενον, δῆλον γάρ φησιν ἐπὶ τῶν ἐναντίων, τὸ μὲν γὰρ δύνασθαι ὑγιαίνειν, καὶ δύνασθαι κάμνειν ἕτερον, καὶ γὰρ ἂν τὸ κάμνειν, καὶ τὸ ὑγιαίνειν, ταυτὸν ἦν, τὸ δὲ ὑποκείμενον καὶ τὸ ὑγιαῖνον, καὶ τὸ νοσοῦν, εἴθ' ὑγρότης, εἴθ' αἷμα. ταυτὸν καὶ ἕν. ἐπεὶ δὲ οὐ ταυτὸν, ὥσπερ οὐδὲ χρῶμα ταυτὸν, καὶ ὁρατὸν, ἡ τοῦ δυνατοῦ ᾗ δυνατὸν ἐντελέχεια, φανερὸν ὅτι κίνησίς ἐστιν. ἐνταῦθα διαῤῥήδην ὁ Φιλόσοφος τήν τε πόῤῥω δύναμιν τῆς ὕλης καὶ τὴν προσεχῆ διαστέλλει. καὶ τὴν μὲν ἁπλῶς καὶ ἀσχέτως θεωρουμένην ταυτὸν εἶναι τῇ ὕλῃ φησὶν, τὴν δὲ κατὰ τὸν λόγον ἕτερον καὶ ἕτερον.

Ἀλλ' ἐνσταίη τις ὅτι τὴν δύναμιν ἁπλῶς καὶ ἄνευ σχέσεως θεωρεῖσθαι ἀδύνατόν ἐστιν, ἡ γὰρ δύναμις ὁρίζεται τῷ εἰς ὃ ἐστὶ δύναμις. φαμὲν οὖν ὅτι ἡ ὕλη ἐπειδὴ ἐκ φύσεως αὐτῆς ἐστιν ὕλη, καὶ ὑποκείμενον, ὀρθῶς τῷ δυνάμει εἶναι ὁρίζεται. τὸ δὲ δυνάμει ὡς μέρος τοῦ ὄντος θεωρούμενον οὐκ ἄτοπον ἁπλῶς θεωρεῖσθαι. ὅθεν ἡ ὕλη δυναμίς ἐστι, καὶ ἐκ τῆς δυνάμεως ἓν καθ' αὑτὸ γίγνεσθαι. ἐπειδὴ δὲ ἀδύνατόν ἐστι τὴν ὕλην ἄνευ εἴδους ὑπάρχειν ἐν τοῖς οὖσιν ἡ ταύτης δύναμις ἀεὶ μετὰ τῆς σχέσεως νοουμένη. μάλιστα δὲ τοῖς κατὰ ἀναλογίαν ταύτην γινώσκουσιν ἀντὶ τοῦ προσεχῶς δυνάμει ὄντος ἡ ὕλη λαμβάνεται, καίτοι ταῦτα τῷ λόγῳ πλεῖστον διαφέρουσι. πρὸς τοῦτο ἀπορήσειεν ἄν τις ἐπειδὴ ἡ δύναμις καὶ ἡ ἐνέργεια ἀντικεῖσθαι λέγονται. τῷ τρόπῳ ἐναντιώσεως ἀν-

τίθε-

Ε.Υ.ΖΑΜΠΑΚΗ ΙΩΑΝΝΙΝΑ 2006

τίθετοί εἰσι; Τινὲς οὖν φασιν ἀντικεῖσθαι τῇ κατὰ στέρησιν καὶ ἕξιν ἐναντιώσει, ἀλλὰ μὴ ὡς τὰ πρός τι, καὶ γὰρ ἡ δύναμις στέρησίς ἐστι τῆς ἐνεργείας. τὰ δὲ ὡς πρός τι ἀντικείμενα, οὐκ εἰσὶν ἀλλήλων ἀναιρετικά, ὡς ἔστι τῆς δυνάμεως ἡ ἐνέργεια, καὶ τῆς ἐνεργείας ἡ δύναμις, ἀλλὰ τούτων ἡ δόξα οὐκ ἀποδεικτέα, ἡ γὰρ στέρησις ὅρος ἐστὶν ἐξ οὗ, ἡ δὲ δύναμις εἰς τὸ ὑποκείμενον ἀνήκει. ἀνάγκη τοιγαροῦν τὴν δύναμιν ἀντικεῖσθαι τῇ ἐνεργείᾳ, ἄλλως πῶς, ἢ ὡς τὰ κατὰ στέρησιν καὶ ἕξιν. ἔτι δὲ καὶ Ἀριστοτέλης σαφῶς ἐν τῷ β. τῶν Φυσικῶν, μορίῳ κέ. τῶν πρός τι φησὶν ἡ ὕλη καὶ τὸ εἶδος, ἄλλῳ γὰρ εἴδει, ἄλλη ὕλη. ἐπειδὴ τοιγαροῦν τῷ δυνάμει εἶναι ἡ ὕλη σχέσιν ἔχει πρὸς τὸ εἶδος, δοκεῖ τὴν ἐνέργειαν καὶ τὴν δύναμιν ὡς τὰ πρός τι ἀντιφέρεσθαι. ὅθεν ὁ Ἀβερρώης ἐν τῷ α. τῶν Φυσικῶν ὑπομνήματι, ἑβδόμῳ φησίν, εἰ οὐσία τῆς ὕλης ἡ δύναμις εἴη αὖ ἡ ὕλη τῶν πρός τι. εἰς ἀκριβεστέραν οὖν κατάληψιν εἰδέναι δεῖ, ὅτι ἡ δύναμις, ἢ τὸ ὑποκείμενον ὑποσημαίνει καθὸ οὐκ ἀντίκειται τῇ ἐνεργείᾳ, πῶς γὰρ ἐκ τῶν ἀντικειμένων συνεγίνετο καθ' ἑαυτό, ἢ τὴν στέρησιν τῆς ἐνεργείας, καθ' ὃν τρόπον ἀντίκειται ὡς τὰ κατὰ στέρησιν καὶ ἕξιν ἐναντία. αὐτὴ δὲ καθ' ἑαυτὴν ὡς δύναμις θεωρουμένη τῶν πρός τι ἐστὶ, καὶ κατὰ σχέσιν ἔοικεν ἀντικεῖσθαι τῇ ἐνεργείᾳ. ἐκ δὲ τούτων οὐ δεῖ θαυμάζειν πῶς οὐκ εἰσὶν ἅμα, καὶ γὰρ ἡ δύναμις ἀντὶ τοῦ ὑποκειμένου λαμβανομένη, καὶ μάλιστα μετὰ τῆς ἐνεργείας ἐστὶ, καίτοι μὴ παρούσης τῆς ἐντελεχείας ἡ δύναμις πρὸς ἐκείνην ἀναφέρεται ὡς μέλλουσαν, παρούσης δὲ ὡς τὸ τελειούμενον πρὸς τὸ τελειοῦν.

## Πῶς ἔχει πρὸς τὴν στέρησιν ἡ ὕλη.

Ἀποχρώντως εἴρηται πῶς ἡ ὕλη δύναμίς ἐστι, νῦν δὲ ἀναγκαῖον εἰδέναι πῶς ἔχει πρὸς τὴν στέρησιν, εἰς ἀκριβῆ δὲ τούτων σαφήνειαν ποσαπλάσιος, καὶ τί ἐστι στέρησις σκεπτέον. καὶ πῶς ἔχει πρός τε τὴν ὕλην καὶ τὴν δύναμιν, καὶ πῶς ἀρχὴ λέγεται τῶν φύσει ὄντων. περὶ τοῦ α. τοίνυν ὁ Φιλόσοφος ἐν τῷ ε. τῶν Μεταφυσικῶν, μορίῳ κζ. διάφορα σημαινόμενα τῆς στερήσεως ἀποδίδωσιν, ἐκ μέρους γὰρ τοῦ γένους ἡ στέρησις πολλαχῶς λέγεται, οἷον τῷ τῆς οὐσίας λόγῳ τυφλοὶ λέγοιντο αὖ οἱ λίθοι, οὐ γὰρ μάχεται τῇ οὐσίᾳ ἡ τυφλότης, ὡσαύτως δὲ καὶ τὸ φυτὸν τυφλὸν, οὐκ ἀλλότριον γὰρ τοῦ ζῶντος τὸ βλέπειν. ἀλλὰ ταῦτα ὡς πόρρω ὄντα οὐκ ἐν συνηθείᾳ εἰσίν. ὅθεν ἡ στέρησις ἐν τῷ γένει οὐκ ἐναρμόστως τίθεται, ὥσπερ ἐν τῷ εἴδει, κυρίως γὰρ ὁ Ὅμηρος τυφλὸς λέγεται, ἴδιον γὰρ τοῦ ἀνθρώπου τὸ ὁρᾶν, ἡ δὲ τοιαύτη στέρησις τριχῶς ἐνδέχεται γίγνεσθαι, ἢ τελεία ὡς ἡ τυφλότης, ἢ ἀτελὴς ὡς ἡ ἀμβλυωπία, ἢ ἀτε-



Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

λης μὲν, ἀλλ᾽ οὐχ ὡς ἐλαττωθεῖσα, ἀλλὰ γινομένη παρὰ τὸν προσήκοντα τρόπον, οἷον ἡ παραβλωπία. ἔτι δὲ ἡ στέρησις ἡ ἐν τῇ α. ὕλῃ θεωρεῖται, ἥτις κοινή τε καὶ ἀδιόριστός ἐστιν ἀδιαφόρως ἔχουσα πρὸς πάντα τὰ εἴδη, συναΐδιός τε τῇ ὕλῃ καὶ παρεπομένη τῇ ταύτης φύσει, ἡ ἐν τῷ προσεχεῖ ὑποκειμένῳ, ἥτις ὡρισμένη ἐστὶ καὶ παρομαρτεῖ ταῖς διαθέσεσι τοῦ ἐπελευσομένου εἴδους, γίγνεταί τε καὶ ἀπογίγνεται κατὰ τὴν τῶν εἰδῶν μεταβολήν. ἔτι δὲ ἡ στέρησις ἐν τῷ προσεχεῖ ὑποκειμένῳ, ἢ προηγεῖται τοῦ εἴδους, καὶ ποιεῖ δεκτικὸν τοῦ εἴδους τὸ ὑποκείμενον, ὅθεν ὁρίζεται ἔλλειψις φύσεως ἐν ὑποκειμένῳ δεκτικῷ, ἢ ἕπεται τῇ ἀπουσίᾳ τῆς ἕξεως, ἀφ᾽ ἧς οὐ δίδοσθαι λέγεται ἐπάνοδος εἰς τὴν ἕξιν, διὸ τὰ τοιαύτην ἔχοντα στέρησιν πάντως ἀνεπίδεκτα τοῦ εἴδους, τελευταῖον ἡ ἐν τῷ προσεχεῖ ὑποκειμένῳ στέρησις, ἢ τῶν συμβεβηκότων ἐστὶν, ἢ τοῦ οὐσιώδους εἴδους, αὕτη δὲ κυρίως ἐστὶ στέρησις, καθάπερ γὰρ τὸ οὐσιῶδες κυρίως ἐστὶν εἶδος, οὕτω τοι καὶ ἡ στέρησις. τούτων οὕτως ὑποτεθειμένων δῆλον γίγνεται τί ἐστι στέρησις, ὁρίζεται γὰρ ἀπουσία τοῦ εἴδους ἐν ὑποκειμένῳ δεκτικῷ, ὅθεν διαφέρει τῆς ἀποφάσεως ἡ στέρησις. ἡ γὰρ ἀπόφασις ἀναιρεῖ μὲν, ἀλλ᾽ οὐδὲν τίθησι, διὸ καὶ μηδὲν εἴρηται. ἡ δὲ στέρησις ἀναιρεῖ μὲν τὸ εἶδος. ὑποσημαίνει δὲ τὴν ὑποκειμένην φύσιν, ὅθεν καθ᾽ αὐτὸ μὲν μὴ ὂν, κατὰ συμβεβηκὸς δὲ ὂν εἴρηται, ἔστι δὲ ἡ ἀπόφασις γενικώτερον τῆς στερήσεως, πᾶσα γὰρ στέρησις ἀπόφασίς ἐστιν, οὐ μὴν ἐξ ἐναντίας. ζητεῖται δὲ πολλοῖς πότερον ἡ στέρησις ἁπλῶς ἀπουσία ἐστὶν, ἢ δύναται ὡς εἶδος θεωρεῖσθαι καὶ πάθος; δεῖ οὖν εἰδέναι ὅτι καθ᾽ αὑτὸ ἡ στέρησις ἀπουσία ἐστὶ, δύναταί γε ὅμως ὡς εἶδος θεωρεῖσθαι διὰ ταυτασὶ τὰς αἰτίας, α. ὅτι ποιεῖ τὸ ὑποκείμενον τοιοῦτον, καὶ ὡς εἴρηται ἐν τῷ ε. τῶν Φυσικῶν, μορίῳ θ. καταφάσει δηλοῦται οἷον τὸ γυμνόν. β. ὅτι ἡ ὡρισμένη στέρησις ἀεὶ τῷ παρόντι εἴδει συνάπτεται, καὶ γὰρ οὐκ ἐκ τοῦ τυχόντος γίγνεται τὸ τυχὸν, ἀλλ᾽ ἐκ τοῦ ὡρισμένου, οἷον ἐκ τοῦ ξύλου πῦρ. γ. ὅτι ἡ ἐν τῷ προσεχεῖ ὑποκειμένῳ στέρησις ταῖς διαθέσεσι συνέζευκται τοῦ ἐπελευσομένου εἴδους. δ. ὅτι συνήρμοσται τῇ δυνάμει τῇ δεκτικῇ τινὸς, καὶ τελευταῖον ὅτι τὸ ἐν τῇ συστοιχείᾳ ἧττον καὶ ἀτελέστερον ὡς στέρησις λαμβάνεται, οἷον ὡς μέλαν πρὸς τὸ λευκόν. καὶ κατὰ τουτονὶ τὸν τρόπον β. Φυσικῶν μορίῳ ιε. ἡ στέρησίς φησιν εἶδός πώς ἐστιν. ἐκ τούτων δὲ καὶ ἡ παρὰ τῷ Σιμπλικίῳ ἀπορία ῥᾳδίως διαλύεται, πότερον δηλαδὴ ἐστὶ τῆς στερήσεως στέρησις, τῆς γὰρ στερήσεως ἡ ἀπουσία ἐστὶν οὐκ ἔστι στέρησις. πᾶσα γὰρ στέρησις ἕξεώς τινος ἐστίν. ἡ δὲ εἶδός πως, ἔσται ταύτης στέρησις. παντὸς γὰρ εἴδους ἐστὶν ἐν τῷ ὑποκειμένῳ στέρησις. γ. ἐζητεῖτο πῶς ἡ στέρησις ἔχει πρὸς τὴν ὕλην, οὕτω γὰρ ἥνωται τῇ

ὕλῃ,

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

ὕλη, ὥστε οὐκ εἶναι τινὲς ᾠήθησαν, ὡς καὶ Ἀριστοτέλης ἐπιφημίζει τῷ Πλάτωνι μὴ διακρίναι τῆς ὕλης τὴν στέρησιν. πλείους τοιγαροῦν ἐκ τοῦ α. τῶν Φυσικῶν διαφορὰς δυνάμεθα θηρεῦσαι τῆς στερήσεως καὶ τῆς ὕλης, α. οὖν ἀπὸ τῆς λεκτικῆς συνηθείας περὶ πάσης στερήσεως φαμὲν, ὅτι ἐκ τοῦδε γίγνεται τόδε, ἀλλ' οὐ περὶ πάσης ὕλης, ἔτι δὲ διχῶς δηλοῦται ἡ στέρησις, καὶ γὰρ περὶ ταύτης φαμὲν, ὅτι ἐκ τοῦ ἀμούσου ἐγένετο μουσικὸς, καὶ ὅτι ὁ ἄμουσος ἐγένετο μουσικός. περὶ δὲ τῆς ὕλης οὐχ ὡσαύτως, τελευταῖον μᾶλλον οἰκείως περὶ τῆς στερήσεως φαμὲν, ὅτι ἐκ τοῦδε γίγνεται τόδε, ὅρος γὰρ ἐξ οὗ ἡ στέρησις. περὶ δὲ τῆς ὕλης ὅτι τόδε γίγνεται τόδε, ὁ γὰρ ἐξ οὗ ὅρος ἀπογίγνεται, ἡ δὲ ὕλη ὑπομένει. β. διαφέρει τῆς στερήσεως ἡ ὕλη, ὅτι ἡ μὲν στέρησις ἀντίκειται τῷ εἴδει, ἡ δὲ ὕλη μηδαμῶς, γ. ὅτι ἡ στέρησις προσγινομένου τοῦ εἴδους ἀποίχεται. ἡ δὲ ὕλη ὑπομένει. δ. ὅτι ἡ ὕλη μᾶλλον τόδετι ἢ ἡ στέρησις. ἔστι γὰρ μέρος τοῦ συνθέτου. ὃ κυρίως λέγεται τόδετι. ε. ὅτι ἡ ὕλη καθ' ἑαυτὸ ἐστὶν ἀρχὴ τοῦ συνθέτου, ἡ δὲ στέρησις κατὰ συμβεβηκός ἐστι. ϛ. ὅτι ἡ ὕλη μᾶλλον ἀριθμητὴ ἐστὶν ἢ ἡ στέρησις. ζ. ὅτι ἡ ὕλη ὑποκείμενον ἐστὶ τῆς γενέσεως, ἡ δὲ στέρησις ὅρος ἐξ οὗ. η. ὅτι ἡ ὕλη ἐφίεται τοῦ εἴδους, οὐ μὴν ἡ στέρησις. θ. ὅτι ἡ ὕλη ὡς μήτηρ ἐστὶν, ἡ δὲ στέρησις ὡς κακοποιὸν, καὶ γὰρ αὐτοῦ φθορᾶς εἴδους οὐ δυνάμεθα θατέρου στέρησιν ἐννοῆσαι. ι. ἡ ὕλη κατὰ συμβεβηκὸς ἐστὶν αἰσχρὸν καὶ θῆλυ, ἡ δὲ στέρησις αἰσχρὸν καθ' ἑαυτό. ια. ὅτι ἡ ὕλη καθ' ἑαυτὴν ἐστὶν ἀΐδιος. κατὰ συμβεβηκὸς δὲ λέγεται μεταβάλλεσθαι, ἡ δὲ στέρησις γίγνεται καὶ ἀπογίγνεται μὴ κατὰ συμβεβηκός. ιβ. ἡ ὕλη ἐστὶν ὂν καθ' αὑτὸ, καὶ οὐσία, ἡ δὲ στέρησις κατὰ συμβεβηκὸς ὡς ἐνιζομένη τῷ ὑποκειμένῳ,, καὶ ταῦτα μὲν ἐκ τοῦ α τῶν Φυσικῶν, ἃ σαφέστερα γενήσεται τοῖς γε εἰδόσιν ἀκριβῶς πῶς ἡ στέρησις ἔχει πρός τε τὴν ὕλην καὶ τὴν ἐν αὐτῇ δύναμιν. χρὴ οὖν ἐπίστασθαι, ὅτι πρῶτον ἐστὶν ἡ ὕλη οὐσιωμένη τῇ δυνάμει εἶναι, ἁπλῶς θεωρουμένης τῆς δυνάμεως ὡς οὔσης διαφορᾶς τοῦ ὄντος, εἶτα οἷον ἐπανθεῖ τῷ ὑποκειμένῳ ἡ πρὸς τὰ εἴδη σχέσις καὶ ἀναφορὰ, καθ' ἣν καὶ ἡ ἐν τῇ ὕλῃ δύναμις, ὡς μέρος θεωρεῖται τῆς συνθέτου οὐσίας δυναμένου ὑπὸ τῶν εἰδῶν τελειοῦσθαι, καὶ ἐν ὑπάρξει γενέσθαι, ὥστε συναναχύπτειν ὁμοῦ τὴν στέρησιν. καὶ ἡ μὲν δύναμις ἐν τῇ ὕλῃ θεωρεῖται ᾗ δεκτική, ἡ δὲ στέρησις ᾗ μὴ ἐχούσῃ ἐνεργείᾳ κἀπειδὴ ἡ ὕλη οὐ λέγεται δέχεσθαι πεφυκυῖα, εἰ μὴ διὰ τῆς ἐν αὐτῇ δυνάμεως ὀρθῶς ἡγεῖσθαι φαμὲν τῆς στερήσεως τὴν δύναμιν. τοιγαροῦν ἡ στέρησις οὐ διακρίνεται τῆς ὕλης τῷ ἀριθμῷ, ἡ γὰρ ὕλη ταὐτὸν ἐστὶ τῇ στερήσει τῷ πράγματι, διαφέρει δὲ τῷ λόγῳ, καθὸ δηλαδὴ ὑστερεῖσθαι λέγεται ὁπηνίκα ἀναφερομένη πρὸς τὰ εἴδη ἀμοιρεῖ

τύπων, καίτοι δεκτικὴ οὖσα. μετὰ δὲ ταῦτα ἡ ὕλη θεωρεῖται ὡς διαφόροις πάθεσι διατεθειμένη εἰς ὑποδοχὴν εἴδους. κἀντεῦθεν ἡ ὡρισμένη καὶ προσεχὴς ἀναφύεται δύναμις, ὡσαύτως δὲ ἡ ἰδία ἑκάστου εἴδους στέρησις, καὶ ἡ μὲν κοινὴ στέρησις, καὶ ἡ ἀδιόριστος δύναμις ἀναφαίρετοί εἰσιν καὶ ἀχώριστοι τῆς ὕλης. ἀποβλητοὶ δὲ αἱ προσεχεῖς καὶ ὡρισμέναι. τίνος δὲ ἕνεκα οὐχ ἡ στέρησις ἀλλ' ἡ δύναμις οὐσία λέγεται τῆς ὕλης; φανερόν, ἡ μὲν γὰρ στέρησις ἀπόφασίς ἐστιν, οὐχὶ δὲ ἡ δύναμις, εἰ δέ τις φαίη ὅτι δοκεῖ τῆς δυνάμεως ἡγεῖσθαι τὴν στέρησιν, ἀνάγκη γὰρ τὸ δυνάμει ὂν ὑστερημένον εἶναι. ἐπιστάσθω ὅτι καίτοι τῶν συναναιρούντων καὶ συναναιρουμένων ἀμοιβαδὸν οὐκ εὐχερὴς ἡ διάκρισις, πότερον τούτων πρότερόν ἐστι, φανερόν γε ὅμως. ὅτι ὕστερον τῆς δυνάμεως ἡ στέρησις, καὶ γὰρ α. ἐστὶ τὸ ὑποκείμενον δυνατὸν μὲν ὑποδέχεσθαι τὸ εἶδος, μὴ ἔχον δέ, καὶ ὡς οἷόν τε ἔχειν, καὶ μὴ ἔχον ὑστερεῖσθαι λέγεται, ὅθεν ἡγεῖται μὲν ἡ δύναμις, ἕπεται δὲ ἡ στέρησις. ἀρκούντως οὖν εἴρηται πῶς ἡ στέρησις ἔχει πρὸς τὴν ὕλην, καὶ τὴν δύναμιν. Τελευταῖον δὲ ἐζητεῖτο πῶς ἐστιν ἀρχὴ γενέσεως; καὶ φθορᾶς περὶ οὗ διὰ βραχέων φαμέν. ὅτι πᾶσα μεταβολὴ ὅρους ἐξ οὗ τε καὶ εἰς ὃν ἀπαιτεῖ, τοιγαροῦν τῶν μεταβολῶν α. οὖσα ἡ γένεσις ὅρους ζητεῖ μάλιστα ἀντιθέτους, οἷοι εἰσὶν οἱ ἐν ἀντιφάσει θεωρούμενοι, καὶ διὰ τοῦτο τὸ μὴ ὂν καὶ ὂν ὅροι λέγονται τῆς γενέσεως, ἀλλ' ἐπειδὴ τὸ μὴ ὂν καὶ ὂν ὅροι εἰσὶ κοινοί τε, καὶ πάντως ἀόριστοι. μάλιστα δὲ ἐπειδὴ οὐκ ἐκ παντὸς μὴ ὄντος γίγνεται τὸ ὂν ἀλλ' ἐκ τοῦ μὴ ὄντος ἐν ᾧ δύναμίς τε καὶ στέρησις. ὀρθῶς ἡ στέρησις καὶ τὸ εἶδος ἀρχαὶ λέγονται γενέσεως καὶ φθορᾶς. α. μὲν γὰρ ἡ κατὰ στέρησιν καὶ ἕξιν ἐναντίωσις α. ἐστὶ τῶν ἐν τῇ οὐσίᾳ, δεῖν δὲ τὰς ἀρχὰς ἐναντίας εἶναι πολλαχοῦ μεμαθήκαμεν. διὸ καὶ οἱ πάλαι τἀναντία τὰ πρῶτα ἀρχὰς εἶναι ἔλεγον. ἔτι δὲ ἡ ὕλη ἐφίεται τοῦ εἴδους, ἡ δὲ ἔφεσις στέρησιν ὑποτίθησι, καλῶς μὲν οὖν ἡ στέρησις τῆς μὲν γενέσεως ὅρος ἐξ οὗ, πρὸς ὃν δὲ τῆς φθορᾶς ὑποτίθεται. αὕτη δὲ ἡ στέρησις εἰς μὲν τὴν γένεσιν ἀναφερομένη ταύτης ἀρχή ἐστι καθ' ἑαυτό, καὶ μέρος τοῦ ὁριστικοῦ λόγου, ἅτε δὴ ταύτης ἐξ οὗ ὅρος οὖσα. πρὸς δὲ τὸ γιγνόμενον ἀρχὴ κατὰ συμβεβηκὸς εἴρηται δυοῖν ἕνεκα, ὅτι τε ἀρχὴ ἐστὶν ᾗ συμβέβηκε τῇ ὕλῃ, καὶ ταύτην διατίθησιν εἰς τὴν τοῦ εἴδους ὑποδοχήν. καὶ ὅτι οὐχ ὑπομένει ἐν τῷ γιγνομένῳ, οὔτε μέρος ἐστὶ τούτου, ἀλλ' ἀρχὴ λέγεται ὡς ἀρχὴ τῆς γενέσεως αὐτοῦ. ἐρεῖ δέ τις ἴσως εἰ ἡ στέρησις ἀρχή ἐστι κατὰ συμβεβηκός, ἐπειδὴ τὸ κατὰ συμβεβηκὸς οὐκ ἀναγκαῖόν ἐστιν ὡς δυνάμενον εἶναί τε, καὶ μὴ εἶναι πρώτῳ τῶν ὑστέρων ἀναλυτικῶν, καὶ α. καὶ η. τῶν Φυσικῶν, πῶς ἡ στέρησις ἀναγκαία λέγεται; πρὸς δὲ τοῦτο φαμὲν ὅτι ἡ στέρησις κατὰ συμβεβηκὸς ἀρχὴ λέγεται, οὐχ ἁπλῶς, ἀλλὰ πρὸς τὸ γιγνόμενον ἀναφερομένη, τῆς δὲ γενέσεως καθ'

ἑαυ-

ΙΩΑΝΝΙΝΑ 2006

ἑαυτό τε ἐστὶν ἀρχὴ καὶ μάλα ἀναγκαία, εἰ τοιγαροῦν ἀδύνατον ἐστὶν εἶναι τὸ γιγνόμενον ἄνευ γενέσεως· ἔσται τῶν γιγνομένων καὶ φθειρομένων ἀρχὴ ἀναγκαία ἡ στέρησις. ζητεῖται δὲ πολλοῖς ἐν ποίῳ τινὶ γένει τῶν αἰτίων ἡ στέρησις τέτακται, περὶ οὗ εἰδέναι δεῖ ὅτι ἡ στέρησις ἀνάγεται μὲν εἰς τὸ εἶδος, καθὸ εἶδός πως ἐστὶ τῆς ὕλης ἐκ τοῦ β'. τῶν Φυσικῶν, μορίῳ ιε'. εἰς δὲ τὴν ὕλην ὅτι ἕν ἐστι ταύτῃ τῷ ἀριθμῷ. ἔτι δὲ ζητεῖται τίνος ἕνεκεν ἡ μὲν στέρησις ἀρχὴ λέγεται, ἡ δὲ δύναμις οὐχί; ἢ ὅτι ἡ στέρησις συναποτελεῖ τὴν γένεσιν, οὔτε ὡς ὑποκείμενον, οὔτε ὡς εἶδος, ἀλλ' ὡς ἐξ οὗ ὅρος, ἡ δὲ δύναμις ἐν ὑποκειμένου λόγῳ παραλαμβάνεται. ὅθεν ἡ στέρησις ἀρχὴ ἐστὶ παρὰ τὴν ὕλην καὶ τὸ εἶδος, ἡ δὲ δύναμις οὐδαμῶς. ἀπορήσειε δ' ἄν τις πῶς φαμὲν τὴν στέρησιν ὅρον ἐξ οὗ τῆς γενέσεως. ἀπὸ γὰρ τῆς στερήσεως οὐ δίδοσθαι ἐπάνοδον εἰς τὴν ἕξιν ὁ Φιλόσοφος ἐδίδαξε πολλαχοῦ. ἢ ὅτι ἀπὸ τῆς ἡγουμένης στερήσεως δίδοται πρόοδος εἰς τὴν ἕξιν, ἀπὸ δὲ τῆς ἑπομένης τοῖς εἴδεσιν οὐ δίδοται ἐπάνοδος εἰς τὸ αὐτὸ εἶδος. ἢ ὅτι ἡ στέρησις ἐν μὲν τῷ ὑποκειμένῳ δυνάμει ἐπιτηδειότητα ὑποφαίνει εἰς τὸ εἶδος, καὶ ὅρος ἐξ οὗ τῆς γενέσεως τούτου, ἐν δὲ τῷ ἐνεργείᾳ ὑποκειμένῳ, καὶ ἐντελεχείᾳ ὄντι οὐδὲ δύναμιν ὑποφαίνει, οὔτε ἐνέργειαν, καὶ ὅρος εἰς ὃν ἐστὶ τῆς φθορᾶς.

## Πότερον διαφωνεῖ τοῦ Ἀριστοτέλους ὁ Πλάτων ἐν τῇ τῆς στερήσεως θέσει;

Πολλαχοῦ ὁ Φιλόσοφος ἀντιφέρεται τῷ Πλάτωνι ἐν τῷ α'. τῶν Φυσικῶν, ποτὲ μὲν ὅτι τῆς στερήσεως οὐ διέστειλε τὴν ὕλην, ποτὲ δὲ ὅτι τὴν στέρησιν οὐχ ὡς ἀρχὴν ἀριθμεῖ τῆς γενέσεως. ἀλλ' ἔμοιγε δοκεῖ οὐ διενηνοχέναι πολὺ ἐν τοῖς περὶ τὴν στέρησιν τοῦ Φιλοσόφου τὸν Πλάτωνα. εἰ καὶ γὰρ ὁ πλωτῖνος ἐννεάδος δ'. Βιβλίῳ δ'. κεφ. ιγ'. ἐκ τῶν Πλατωνικῶν δογμάτων μὴ διακρίνεσθαι τῆς στερήσεως τὴν ὕλην δεικνύναι πειρᾶται, καὶ καθάπτεται τοῦ Ἀριστοτέλους, ἅτε δὴ τὰ ἀχώριστα χωρίζοντος λόγοις ἀνελέγκτοις καὶ μηδαμινοῖς, ἐπιχειρήμασι δὲ τῶν τούτου ἰσχυρότερα, τό, τε ἓν ἀριθμῷ εἶναι τὴν στέρησιν, καὶ τὴν ὕλην καὶ τὸ ὑπομένειν τὴν στέρησιν ἐπιφοιτήσαντος τοῦ εἴδους, ὡς ἀχώριστον οὖσαν τῆς ἐν ὕλῃ δυνάμεως; ἀλλ' ὅμως οἱ τοιοῦτοι λόγοι οὐδὲν ἰσχύουσι, καὶ ῥᾳδίως ὁ πλωτῖνος ἐξελέγχεται, ὡς ἐκ τῶν εἰρημένων δῆλον γίγνεται. α'. γὰρ οὐκ ὀρθῶς φησι τὴν στέρησιν ὑπομένειν μετὰ τὸ εἶδος. πῶς γὰρ ἐνδέχεται τὸν ἐξ οὗ ὅρον καὶ τὸν πρὸς ὃν ἅμα εἶναι ἀλλήλοις ἀντικειμένους; ἔτι δὲ ἀνάγκη τοὺς ὅρους τῆς γενέσεως διακρίνεσθαι τοῦ ὑποκειμένου ἵν' ἀμφοτέρων ᾖ δεκτικόν. ἔτι δὲ, δίχ-



ΙΩΑΝΝΙΝΑ 2006

μαρτεν ὁ Πλωτῖνος ὅτι οὐ διακρίνει τῆς προσεχοῦς στερήσεως τὴν κοινήν, ἡ γὰρ προσεχὴς ἀρχή ἐστι τῆς γενέσεως καὶ ἀναιρεῖται ἐπερχομένου τοῦ εἴδους. πρὸς τούτοις τὴν στέρησιν ἀπόφασιν οἴεται τοῦ εἴδους μετὰ τῆς πόῤῥω δυνάμεως, ὁ δ' Ἀριστοτέλης τὴν ὡρισμένην στέρησιν ὅρον ἐξ οὗ τῆς γενέσεως τίθησι, καὶ διαστέλλει τῆς ὕλης, διήνεγκε δὲ τοῦ Ἀριστοτέλους ὁ Πλάτων οὐ κατὰ τὰ πράγματα, ἀλλὰ κατὰ τοὺς ὅρους ὡς οἴομαι, κἀκεῖνος γὰρ ἐν τῷ Φαίδωνι διδάσκει ἐκ τῶν ἐναντίων γίγνεσθαι τὰ ἐναντία, καὶ τῆς γενέσεως τοὺς ὅρους ἀντικειμένους εἶναι δεῖν. ἔτι ἐν τῷ Λύσιδι τὴν τῆς ὕλης ἔφεσιν ἀναπτύσσων τὰ αὐτὰ τῷ Φιλοσόφῳ διδάσκει, τό, τε ἐφιέμενον καὶ τὸ ἐφετὸν, καὶ τὸ ἐναντίον τῷ ἐφετῷ ἀρχὰς εἶναι βουλόμενος. τῷ δὲ ἐφετῷ κυρίως ἡ στέρησις ἀντίκειται. ἔτι δὲ ἐν τῷ Φαίδωνι τὴν μὲν ὕλην τόδε τί φησιν, οὐ μὴν δὲ τὴν στέρησιν, ἣν κατ' ἐκεῖνον ὡς ὁ Ἀριστοτέλης α. Φυσικῶν, μορίῳ π. μαρτυρεῖ μοῖραν ἐναντιώσεως εἶναι, καὶ δυναμένην φαντασθῆναι τῷ πρὸς τὸ κακοποιὸν αὐτῆς ἀτενίζοντι τὴν διάνοιαν, ἐξ ὧν φανερόν ἐστιν ὅτι καὶ κατὰ Πλάτωνα τῆς ὕλης ἡ στέρησις διακρίνεται, καίτοι μὴ ἐν λόγῳ ἀρχῆς τίθεται διαῤῥήδην, ἐν γὰρ τῷ Φιλήβῳ ἀριθμεῖ μὲν ὁ Πλάτων τὰς ἀρχὰς παριδὼν τὴν στέρησιν, ὡς μὴ τῇ μορφῇ τῶν γιγνομένων συναίτιον οὖσα. λέγων δὲ τὴν ὕλην ἄπειρον τὴν στέρησιν ὑποφαίνει, τῆς γὰρ ὕλης ὅρος ἐστὶ καὶ πέρας τὸ εἶδος. κείσθω τοίνυν ὅτι τῷ ἀριθμῷ ἡ στέρησις ἓν καὶ ταυτὸν τῇ ὕλῃ, τῷ δὲ εἴδει καὶ κατὰ Πλάτωνα διαφέρει.

## Περὶ διαφόρων ὑπογραφῶν τῆς ὕλης.

ἈΠοχρώντως οὖν ὡς οἶμαι διεσαφήσαμεν, ὅτι κατὰ διττὴν νόησιν ληπτῆς οὔσης τῆς ὕλης, εἴτε δηλαδὴ ἁπλῶς ὡς ὄντος, καθ' ὃν δὴ τρόπον αὐτῇ τό, τε ἐν κατηγορίᾳ εἶναι, πρᾶγμα τε ὀνομάζεσθαι, καὶ τόδε τι προσήκει, εἴτε μετὰ τῆς εἰς τὰ εἴδη σχέσεως, καθ' ὃ τρόπον δυνάμει τε ὂν λέγεται, καὶ ἀτελὲς, καὶ μὴ δὲ οὐσία, μηδὲ τόδε τι, νῦν δὲ ἀνάγκη τὰς τῆς ὕλης ὑπογραφὰς ἐκθέσθαι. ἐπειδὴ τοίνυν ἡ ὕλη τετραχῶς θεωρεῖται, τοσαυταχῶς ὁρίζεται παρὰ τοῖς συγγραφεῦσι. α. μὲν δὴ διὰ ἀποφάσεως. β. τῷ δυνάμει τε εἶναι, καὶ τῶν εἰδῶν ἐστερημένην. γ. δὲ κατὰ ἀναλογίαν, καὶ δ. κατὰ τὰς διαφόρους αὐτῆς περιστάσεις. κατὰ μέντοι τὸν α. τρόπον Ἀριστοτέλης ταύτην ὡρίσατο, μορίῳ η. τοῦ ἑβδόμου τῆς α. Φιλοσοφίας, ἔνθα φησὶ τὴν ὕλην μηδὲ τόδε εἶναι, μηδὲ ποσόν δε, μηδὲ ποιόν δε, μηδὲ ποῦ, καὶ τ. δεῖ οὖν εἰδέναι ὅτι τὰ ἐκ διαμέτρου ἀντικείμενα ἐν τῇ τῶν ὄντων τάξει δι-

ἀποφάσεως ὀρθῶς ὁρίζεται, ὡς ἡ ἀκροτάτη καὶ πάντως εἰλικρινὴς ἐντελέχεια τὸ τῶν ὄντων ὑπερφέρειν, καὶ πάσης τῆς ὕλης ὑπερανέχων τῇ φύσει, καὶ τὸ ἀτελὲς ἐν τοῖς οὖσιν οἷα ἐστὶν ἡ παθητικὴ δύναμις. τὸ μὲν γὰρ διὰ τὴν τοῦ εἶναι σμικρότητα ἐν ἀγνοίᾳ κεῖται, καὶ διαφεύγει τὴν ἡμετέραν νόησιν, τὸ δὲ διὰ τὴν ὑπεροχὴν τῆς οὐσίας αὐτοῦ ἀπερίληπτόν ἐστιν. ἔστι δὲ ταῦτα ὅ,τε Θεὸς καὶ ἡ ὕλη δι᾽ ἐναντίας αἰτίας τὸν αὐτὸν τρόπον ζητοῦντα τοῦ ὁρισμοῦ. λέγεται τοίνυν τὸ θεῖον, ὅτι οὐκ ἔστι στοιχεῖον, οὔτε σῶμα τὸ αἰθέριον, οὔτε ὁ κόσμος, οὔτε τοῦ κόσμου ψυχή. ἀλλὰ τὸ ὑπὲρ ταῦτα ὂν ἀνενδεὲς ὑπάρχον, καὶ ἄπειρον, καὶ πάσης ὑλικῆς περιπαθείας ἄμοιρον, ἡ δὲ ὕλη ὅτι οὐκ ἔστιν ἐντελέχεια λέγεται, καὶ ὅτι τὸ καταλειπόμενον ἐστὶν ἀνῃρημένων τῶν εἰδῶν ὡς λέγεται τετάρτῳ Φυσικῶν, μορίῳ ιέ. β΄. ἡ ὕλη ὁρίζεται τῷ δυνάμει εἶναι, καὶ τῷ ἐστερῆσθαι τῶν εἰδῶν, οἷον ὁπηνίκα λέγεται φύσις μεταξὺ δυναμένη γενέσθαι πάντα, ἢ ὡς Ἀβερρόης φησὶ φύσις μεταξὺ τοῦ μὴ ὄντος, καὶ ὄντος, ἢ ὑποκείμενον ἀόριστον πεφυκὸς ὁρίζεσθαι τοῖς εἴδεσιν, ἢ ὂν θειότητος ἄμοιρον, δεκτικὸν γε ὅμως ὡς εἴρηται τῷ Πλάτωνι. γ΄. ἡ ὕλη κατὰ ἀναλογίαν θεωρουμένη, καὶ καθ᾽ ὁμοιότητα διαφόρων πραγμάτων πολλαχῶς ὁρίζεται. καὶ γὰρ ὁ Πλάτων καθ᾽ ὁμοιότητα τοῦ τόπου τὴν ὕλην ὁρίζει ἐν τῷ Τιμαίῳ, λέγων ὅτι ἐστὶ τόπος ἀεὶ μένων τῶν γιγνομένων ἁπάντων δεκτικός. ἔτι δὲ ὁρίζεται πρός τε τὴν τροφὸν παραβαλλομένη ἡ ὕλη, καὶ πρὸς τὴν Μητέρα, καὶ πρὸς τὸ θῆλυ, καὶ ὅσα αὖ ἄλλα ἔσχηκεν ὁμοιότητα. ὁ δὲ Φιλόσοφος ἐν τῷ αʹ. τῆς Φυσικῆς Ἀκροάσεως ἐξομοιῶν τὴν ὕλην τῇ τῶν κατὰ τέχνην γιγνομένων, τὸ πρῶτον ὑποκείμενόν φησιν ἐξ οὗ γίγνεται τὰ φύσιν ἔχοντα, ὥσπερ ἐκ τῆς τεχνιτῆς ὕλης τὰ κατὰ τέχνην γιγνόμενα. τελευταῖον ὁρίζεσθαι ἡ ὕλη πέφυκε κατὰ τὰς διαφόρους αὐτῆς περιστάσεις. οἷον ὁπηνίκα λέγεται τὸ α. ὑποκείμενον, ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος, καὶ εἰς ὃ ἔσχατον τελευτᾷ τὸ φθειρόμενον. δεῖ δὲ σημειῶσαι ὅτι ἐν τῷ τῆς ὕλης ὁρισμῷ, τὰ πολλὰ παρείλειπται τὸ φθορᾶς ὅρον εἶναι, τῆς γὰρ γενέσεως ἡ φύσις στοχάζεται καθ᾽ ἑαυτό, καὶ διὰ ταύτης πρεπωδέστερον ἡ ὕλη ὁρίζοιτ᾽ ἂν, ὅθεν καὶ τὸ στοιχεῖον· ὁ Φιλόσοφος έ. Μεταφυσικῶν, μορίῳ δ΄. ὁρίζει τὸ ἐξ οὗ γίγνεται τὰ πράγματα ἀδιαίρετον ὂν εἰς ἕτερα τῷ εἴδει, ἔτι δὲ λέγεται ἡ ὕλη ὅτι ἐστὶ τὸ τῆς ἐναντιώσεως ὑποκείμενον, καὶ ταῦτα μὲν ἀπόχρη περὶ τῶν τῆς ὕλης ὑπογραφῶν, ἐξ ὧν δὴ καὶ τῶν ἀνωτέρω ῥηθέντων δῆλον γέγονεν εἰ ἔστιν ἡ ὕλη, καὶ τί ἐστιν. περὶ δὲ τῶν λοιπῶν δύω ζητημάτων ἐξῆς εἴπωμεν ὡς ἔνι διὰ βραχέων.

Πε-

Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Περὶ τῶν διαφόρων ἐν ὕλῃ ἰδιωμάτων.

Ὅπως αὖ οὖν εὐμεθόδως ὁ λόγος χωρήσῃ εἴδωμεν πρῶτον τὰς τῆς ὕλης ἰδιότητας, περὶ ὧν εἴρηται τῷ Πορφυρίῳ, ὅτι ἐστὶ τὸ ἀσώματον, τὸ ἀνείδεον, τὸ ἀμετάβλητον, τὸ ἀόριστον. ἔτι δὲ λέγεται παρ' αὐτοῦ ἡ ὕλη ζωῆς ἄμοιρος, ἀληθῶς μὴ ὄν, εἰκὼν ὄγκου, ἔφεσις οὐσίας, καὶ ἕτερα πλείω. ἵνα δὲ τὰς ἰδιότητας τῆς ὕλης διαγνῶμεν σαφῶς παραβάλλωμεν ταύτην τῷ εἴδει, τῶν γὰρ εἰς ἄλληλα καὶ σχέσιν ἐχόντων ἡ γνῶσις διάλληλός ἐστι. τὸ μὲν οὖν εἶδος ὂν ἐστὶν ἐντελές, ἡ δὲ ὕλη ἀτελὴς, καὶ τὸ μὲν εἶδος ἐνέργεια, ἡ δὲ ὕλη δύναμις. ἔτι δὲ τὸ μὲν ἐνυπάρχει, καὶ ὑποκείμενον ζητεῖ, ἡ δὲ ὑφίσταται, καὶ τὸ εἰδοποιοῦν ἀπαιτεῖ. καὶ τὸ μὲν ἐστὶν ὅρος τε, καὶ τελειότης, ἡ δὲ ὁριστή τε καὶ δεκτικὴ τῆς ἑτέρου τελειότητος, καὶ τὸ μὲν εἶδος ἀντίκειται τῇ στερήσει, ἡ δὲ ὕλη μεταξὺ στερήσεως ἐστὶ καὶ εἴδους, καὶ σώζεται ὑπ' ἀμφοῖν. καὶ τὸ μὲν εἶδος ὅρος ὂν τῆς ἀμείψεως γίγνεταί τε καὶ ἀπογίγνεται οὐ διαμένον ἀεὶ τὸ αὐτὸ, ἡ δὲ ὕλη ἀεὶ ὑπομένει. ἔτι δὲ εἶδος εἴδει ἐστὶν ἐναντίον, ἡ δὲ ὕλη μηδενὶ ἀντίκειται. ἀλλ' ἔστιν οἱονεὶ τῆς μάχης τῶν εἰδῶν ὑποκείμενον. πρὸς δὲ, τὸ μὲν εἶδος ἐντελέχεια ἐστὶ καὶ ἀρχὴ ποιήσεως, ἡ δὲ ὕλη δύναμις καὶ ἀρχὴ παθήσεως, ὅθεν τὸ εἶδος κινητικόν ἐστι τῆς νοητικῆς δυνάμεως, καὶ μορφοῖ ταῖς οἰκείαις εἰκόσι τὸν νοῦν, ἡ δὲ ὕλη ὡς μὴ μορφωτικὸν ἐν ἀγνοίᾳ κεῖται, καὶ λανθάνει τὰς αἰσθήσεις, καὶ ταῦτα παντὸς αἰσθητοῦ ὕλην ἔχοντος ὡς πρώτῳ λέγεται περὶ Οὐρανοῦ. ἔτι δὲ τὸ εἶδος ἐστὶν αὐτὸ δὴ τὸ λεγόμενον κέρας ἀμαλθείας ποριστικὸν ὂν καλῶν ἁπάντων. καὶ ἐφετὸν καθ' αὑτὸ, ἡ δὲ ὕλη ἐφίεται τῶν εἰδῶν ὡς τὸ θῆλυ τοῦ ἄρρενος. πρὸς τούτοις οὕτως ἐστὶ τὸ εἶδος τοῦ φύσιν ἔχοντος μέρους, ὥστε διὰ τοῦτο ὅλον τι εἶναι, ἡ γὰρ ὁλότης ἑκάστου ἐν τῷ τί ἐστιν εἶναι ὑπάρχει, ἡ δὲ ὕλη μέρος μὲν ἐστιν, ἀλλ' ὡς μηθὲν, μηδὲν γάρ ἐστι τῆς οὐσίας τοῦ ὅλου, ὡς οὐδαμῇ οὐδαμῶς ὄντος τούτου πρὸ τοῦ εἴδους, ὡς εἴρηται β. Φυσικῶν, μορίῳ ια. διὸ καὶ τὸ σύνθετον ἐκ τοῦ μὴ ὄντος λέγεται γίγνεσθαι. ἡ γὰρ ὕλη σχεδὸν εἰς οὐδὲν συμβάλλεται τῆς εἰδικῆς τοῦ συνθέτου οὐσίας, ὅθεν μορίῳ λα. τοῦ β. τῶν Φυσικῶν ἡ ὕλη μέρος λέγεται, τὸ δὲ εἶδος σύνθεσις καὶ ὅλον. πρόσθες ὅτι τὸ εἶδος οὗ ἐστιν ἀληθῶς, καὶ τοῦ ἑνὸς καθ' αὑτὸ συστατικόν, ὡς λέγεται β. περὶ ψυχῆς μορίῳ ζ. ἡ δὲ ὕλη ὡς ἡ δυὰς ἐστὶν ἀμφοτέρων τῶν τῆς ἐναντιώσεως μερῶν οὖσα δεκτικὴ, πολλαπλάσιός τε τῇ δυνάμει, καὶ πλήθους ἀρχή. διαφορὰ δὲ κἀκείνη προφανὴς τῶν συναιτίων τούτων, ὅτι τὸ μὲν εἶδος τέλος ἐστὶ, καὶ τὸ οὗ ἕνεκα ἡ ὕλη ὑπάρχει, ἡ δὲ ὕλη ὥσπερ τὰ ὧν οὐκ ἄνευ αἴτια διὰ τὸ εἶδός ἐστι.

Ε.Υ.Δ. ΙΩΑΝΝΙΝΑ 2006

ἐστί. καὶ εἰς τοσοῦτον ἀναγκαία, ὥστε μὴ χωρὶς αὐτῆς γενέσθαι τὸ σύνθετον. τούτοις καὶ ἕτερα πλείω παρομαρτεῖ διαστέλλοντα τοῦ εἴδους τὴν ὕλην. τὸ μὲν γὰρ εἶδος οἱονεὶ διαφορά ἐστι συστέλλουσα εἰς ὡρισμένην εἶναι τὴν ὕλην, ἡ δὲ ὕλη ὥσπερ γένος ὑπὸ τῶν εἰδῶν συνίσταται, καὶ τὸ μὲν εἶδος δύναται κεχωρισμένον ὑπάρχειν τῆς ὕλης, καθάπερ αἱ νοεραὶ οὐσίαι, ἡ δὲ ὕλη ἄνευ εἴδους, οὐκ ἂν εὑρεθείη ποτέ. καὶ τὸ μὲν εἶδος τῆς τάξεως τοῦ παντὸς αἴτιον, καὶ τῆς τῶν πραγμάτων διακρίσεως. ἡ δὲ ὕλη τῆς συγχύσεως καὶ κοινωνίας. ἔτι δὲ ἡ ὕλη διὰ τὰς εἰρημένας ἰδιότητας αἰτία τε γήρως ἐστὶ καὶ ἀσθενείας, καὶ πλήθους, καὶ ἀπειρίας, καὶ φθορᾶς, καὶ κακίας, καὶ ἀσχημοσύνης, καὶ τεράτων, καὶ τύχης, καὶ αὐτομάτου, καὶ λήθης, καὶ ἀμνημοσύνης, καίτοι ταῦτα πάντα συμβέβηκε τῇ ὕλῃ διὰ τὴν στέρησιν. ὅθεν Ἀριστοτέλης π΄α. μορίῳ τοῦ α. τῶν Φυσικῶν, τὴν ὕλην αἰσχρόν φησι καὶ θῆλυ, καὶ κακὸν κατὰ συμβεβηκὸς ἀλλὰ μὴ καθ᾽ αὑτό.

## Πότερον ἡ ὕλη μία ἐστί;

Ἀγνοουμένης ὡς ἡμῖν εἴρηται τῆς ὕλης, καὶ τὰ περὶ αὐτὴν ἀμφιβαλλόμενα συμβαίνει μὴ ῥᾳδίως εἶναι λύσιμα. διὸ δεῖ τῇ παρολκῇ τοῦ λόγου καὶ παρὰ τὸ εἰκὸς ἐφ᾽ ὅτε ταῦτα διαξανῶσαι, ζητεῖται τοιγαροῦν πότερον ἡ ὕλη μία ἐστὶ τῶν φύσει συνεστώτων ἁπάντων. περὶ οὗ δόξαι πολλαὶ περιφέρονται ἐν τῷ περιπάτῳ. τούτου γὰρ ἔξω τὶς ἂν εἴποι τὰς διαφορὰς τῶν πάλαι, ὧν οἱ μὲν Ἀμφιδημόκριτον καὶ Λεύκιππον τὰς ἀπείρους ἀτόμους ὕλην ἐνόμιζον. ὁ δ᾽ Ἀναξαγόρας τὰ ἀναρίθμητα ὁμοιομερῆ ἐν τῷ χάει συγκεχυμένα ὄντα πρὸ τῆς τοῦ νοὸς διακοσμήσεως, πλείους δὲ τὰς ὕλας ἐτίθει καὶ Ἐμπεδοκλῆς, καίτοι πεπερασμένας τὰ στοιχεῖα πάντων ὕλην εἶναι πρεσβεύων. δύω δὲ Παρμενίδης γῆν τε καὶ πῦρ ὕλην εἶναι θεσπίσας. ἄλλοι δὲ πλείους μίαν ἐδόξαζον, ὧν ὁ μὲν Ἡσίοδος τὴν γῆν ἐτίθη, Θαλῆς δὲ τὸ ὕδωρ, Διογένης δὲ τὸν ἀέρα, Ἡράκλειτος δὲ τὸ πῦρ, φύσιν δέ τινα μεταξὺ Ἀναξίμανδρος, ὧν αἱ θέσεις ἀποχρόντως ἀνεσκευάσθησαν ἀνωτέρω, ὥστε ὁ λόγος διατρίψει περὶ τοὺς ἐν τῷ Περιπάτῳ διαφερομένους. ἔδει δὲ ἴσως ἐνταῦθα καὶ περὶ τῆς ὕλης τῶν αἰθερίων σωμάτων ὅπως διαφέρει τῆς τῶν ὑπὸ Σελήνην ἀνακρῖναι, ἀλλὰ περὶ τούτων ἅλις εἴρηται ἐν τοῖς περὶ Οὐρανοῦ. Πρόκειται τοίνυν εἰς διάσκεψιν ἡ τῶν ὑπὸ Σελήνην ὕλη, ἥτις οὐ μία δοκεῖ τοῖς ἐπιπολαιότερον σκεπτομένοις τὰ πράγματα, ἄλλῳ γὰρ εἴδει, ἄλλη ὕλη φησὶν ὁ Φιλόσοφος, ἐν τῷ β. τῶν Φυσικῶν, μορίῳ κϛ΄. εἰσὶ δὲ πολλὰ τὰ εἴδη, ἄρα καὶ αἱ ὕλαι. δεύ-

τερον

ΙΩΑΝΝΙΝΑ 2006